διφῶν, τουτέστιν ἐρευνῶν, καὶ ζητῶν τὰ πράγματα. ὁ δικορραφῶν. ὁ δικορράφος. δικορραφεῖν δὲ, δίκας συρράπτειν, ἐν τοῖς δικαστηρίοις ἀναστρέφεσθαι.

Σχόλια. Πετεινὸν.] περιίπτασθαι καὶ εἰς δικαστήριον καλεῖν. Ὑπαὶ πτερύγων τί.] ἀντὶ τοῦ μετὰ πτερύγων. Ἡσίοδος. τοίγε μὲν γελόωντες ὑπ' αὐλητῆρος ἕκαστος. Ἀρχίλοχος ᾄδων ὑπ' αὐλητῆρος. ἄλλως. ἀντὶ τοῦ σοφώ- A τερόν φησι τὸ μετὰ πτερύγων καλεῖν. Λῃσταὶ] οἱ πειραταὶ, καὶ Ὅμηρος. οἷά τι ληϊστῆρες. Ἀνθ' ἕρματος.] ἀντὶ τοῦ λίθου. ἐπεὶ αἱ γέρανοι ἐν τοῖς στόμασι ψήφους ἐν τῷ πέτεσθαι ἔχουσιν. ἄλλως. πολλάκις καὶ στηρίγματος ἕνεκα περιφέρουσι τοὺς λίθους αἱ γέρανοι πρὸς τὸ μὴ παραφέρεσθαι ἀνέμοις. Οὐκ ἐπίσταμαι] ἀντὶ τοῦ οὐ δύναμαι. εἴρηται δὲ παρὰ τὴν παροιμίαν. πεζῇ βαδίζων σκάπτειν οὐκ ἐπίσταμαι.]

Δεινῶς τέ μου τὸ μειράκιον ὁ Διϊτρέφης
Λέγων ἀνεπτέρωκεν ὥσθ' ἱππηλατεῖν.
B Ὁ δέ τις τὸν αὐτοῦ φησιν ἐπὶ τραγῳδίᾳ
Ἀνεπτερῶσθαι, καὶ πεποτῆσθαι τὰς φρένας.
Συ. Λόγοισί τ' ἆρα καὶ πτεροῦται; Πει. φήμ' ἐγώ.
Ὑπὸ γὰρ λόγων ὁ νοῦς τε μετεωρίζεται.
Ἐπαίρεταί τ' ἄνθρωπος. οὕτω καί σ' ἐγὼ
Ἀναπτερώσας βούλομαι χρηστοῖς λόγοις,
Τρέψαι πρὸς ἔργον νόμιμον. Συ. ἀλλ' οὐ βούλομαι.
C Πει. Τί δαὶ ποιήσεις. Συ. τὸ γένος οὐ καταισχυνῶ.
Παππῷος ὁ βίος συκοφαντεῖν ἐστί μοι.
Ἀλλὰ πτέρου με, ταχέσι καὶ κούφοις πτεροῖς
Ἱέρακος, ἢ κερχνῇδος, ὡς ἂν τοὺς ξένους
Καλεσάμενος, κἆτ' ἐγκεκληκὼς ἐνθαδὶ,
Κἆτ' αὖ πέτωμαι πάλιν ἐκεῖσε. Πει. μανθάνω.
Ὡδὶ λέγεις. ὅπως ἂν ὠφλήκῃ δίκην
D Ἐνθάδε πρὶν ἥκειν ὁ ξένος. Συ. πάνυ μανθάνεις.
Πει. Κἄπειθ' ὁ μὲν πλεῖ δεῦρο. σὺ δ' ἐκεῖσ' αὖ πέτει
Ἁρπασόμενος τὰ χρήματ' αὐτοῦ. Συ. πάντ' ἔχεις.
Βέμβικος οὐδὲν διαφέρειν δεῖ. Πει. μανθάνω.
Βέμβικα καὶ μήν ἐστι μοι νὴ τὸν Δία
Κάλλιστα κερκυραῖα τοιαυτὶ πτερά.
E Συ. Οἴμοι τάλας μάστιγ' ἔχεις; Πει. πτερὼ μὲν οὖν.
Οἷσί σε ποιήσω τήμερον βεμβικιᾶν.
Συ. Οἴμοι τάλας. οὐ πτερυγιεῖς ἐντευθενί;
Πει. Οὐκ ἀπολιβάξεις ὦ κάκιστ' ἀπολούμενος;
Πικρὰν τάχ' ὄψει στρεψοδικοπανουργίαν.
Ἀπίωμεν ἡμεῖς ξυλλαβόντες τὰ πτερά.

*Grauitérque mei adolescentulum Dijtrephes,*
*Dicens realauit ad equitare.*
*Hic autem aliquis hunc ipsius dicit in tragœdia,*
*Realare & volare mentes?*
SY. *Verbísque igitur & alantur?* PI. *dico ego.*
*Ab enim verbis mensque eleuatur,*
*Attolliturque homo: sic & te ego*
*Realans, volo bonis verbis*
*Vertere ad opus legitimum.* SY. *sed non volo.*
PI. *Quid autem facies?* SY. *genus non deturpabo,*
*Auita vita calumniandi est mihi.*
*Sed ala me velocibus & leuibus alis,*
*Accipitris, vel cerchneidis, vt hospites*
*Vocans, & postea vocans hic,*
*Et postea rursus volem rursus illuc.* PI. *intelligo.*
*Sic dicis, vt debeat pœnam*
*Hic ante ire hospes.* SY. *valde intelligis.*
PI. *Et postea hic quidem nauigat huc, tu autem illuc rursus vola,*
*Rapiens res ipsius.* SY. *omnia tenes.*
*Trocho nihil differre oportet.* PI. *intelligo*
*Trochum, & quidem sunt mihi per Iouem*
*Optimæ cercyreæ tales alæ.*
*Sy. Hei mihi miser, lorum habes.* PI. *alas quidem igitur*
*Quibus te faciam hodie trochare.*
*Sy. Hei miser, non alabis hic?*
PI. *Non discedes o pessime periturus?*
*Amaram citò videbis versionem pœnæ malitiæ.*
*Abeamus nos colligentes alas.*

Σχόλια. Ὁ Διϊτρέφης.] ἐπεὶ πλούσιος, καὶ δυνάμενος ἱπποτροφεῖν ἐστί. εἴρηται δὲ περὶ αὐτοῦ ἀνωτέρω, ὅτι ὁ Διϊτρέφης πιτυνοπλόκος ὢν, γέγονε φύλαρχος καὶ ἵππαρχος. εἰς τὸ αὐτό. ἵππαρχος γὰρ γενόμενος καὶ εὐτυχήσας συνεβούλευσε καὶ ἄλλοις ἱππαρχεῖν.

Bisetus. Πεποτῆσθαι τὰς φρένας] οὕτω καὶ Θεόκριτος εἰδυλ. β.

Θέστυλι δειλαία πᾶ τὰς φρένας ἐκπεπότασαι;

Σχόλια. Κἆτ' ἐγκεκληκώς.] ἔγκλημα κατ' αὐτοῦ γραψάμενος βραδυτῆτος. ἐνθαδὶ δὲ ἤγουν εἰς τὸ δικαστήριον. Κἆτ' αὖ πέτωμαι πάλιν.] ἵνα πάλιν πετασθεὶς ἐν ταῖς νήσοις ταχέως ἄλλους προκαλέσωμαι. Ὅπως ἂν ὠφλήκῃ.] ἀντὶ τοῦ δικασθείη, πρὶν φθάσαι ἐν τῇ Ἀττικῇ. τοιοῦτον δέ τι θέλει λέγειν. ἵνα καλεσάμενός τινα εἰς δίκην, σὺ μὲν, ὡς ἂν πετόμενος φθάσῃς πρὸ αὐτοῦ. εἶτα καταδικάσας αὐτὸν ἐξ ἐρήμου, πάλιν ἐπὶ τὰ αὐτοῦ πέτῃ, ἐν F ὅσῳ ἐκεῖνος πλέων, ἐνθάδε παραγίνεται. Κἄπειθ' ὁ μὲν πλεῖ.] ἵνα φησὶν ἐκεῖσε ὢν, ὑπεύθυνος καὶ ἑτέρας δίκης γένηται ὑπὸ τοῦ βράδους, σοῦ φθάσαντος αὐτὸν ἐνθάδε. Βέμβικος οὐδὲν διαφέρειν] εὔστροφον καὶ εὐκίνητον δεῖ εἶναι. ὁ δὲ βέμβιξ ἐργαλεῖον ἐστὶν ὃ μάστιγι στρέφουσιν οἱ παῖδες. ἢ παίγνιον τῶν παίδων ὡς τροχὸς ὃς μάστιγι δερόμενος στρέφεται. Κερκυραῖα] λέγεταί τις Κερκυραία μάστιξ. συνεχῶς κερκυραίοις ἀταξίαι γίνονται. διὰ τὸ στασιάζειν οὖν, ἐπεπόλασε παρ' αὐτοῖς ἡ μάστιξ, ὥστε διπλαῖς χρῆσθαι μεγάλαις καὶ ἐλεφαντοκόποις. ἄλλως. λέγεταί τις G κερκυραία μάστιξ. Φρύνιχος Σατύροις. κερκυραῖαι δὲ οὐδὲν ἐπιβάλλουσι μάστιγες. ὥστε καὶ παροιμίαν ἤδη ἐλθεῖν. Ἀριστοφάνης δὲ τὸ κερκυραία μάστιξ. λέγων φησὶν οὕτως. ἐλεφαντίνας ἐποιήσαντο, καὶ τῷ μεγέθει περιττάς. ὅθεν ἡ κερκυραία ἐπεπόλασε μάστιξ, καὶ εἰς παροιμίαν ἦλθε. ταῦτα δὲ λέγων τύπτει αὐτόν. Πτερὼ μὲν οὖν] δυϊκῶς

ἀντὶ τοῦ